ἡγούμενος ἐκεῖνον μὲν ἐκφεύξεσθαι, τούτους δ', ἐπειδὴ
τάχιστα ἐντύχοιεν ἀνθρώποις, αἰσχυνομένους ἀποτρέ-
ψεσθαι — ταῦτα διανοηθεὶς ἑτέραν ὁδὸν ᾠχόμην ἀπιών·
οὕτω σφόδρ' αὐτοὺς ἐφυλαττόμην, καὶ πάντα τὰ ὑπὸ
τούτων γιγνόμενα μεγάλην ἐμαυτῷ συμφορὰν ἐνόμιζον.
κἀνταῦθα μέν, ἵνα φησὶ Σίμων τὴν μάχην γενέσθαι, 14
οὔτε τούτων οὔτε ἡμῶν οὐδεὶς οὔτε κατεάγη τὴν κε-
φαλὴν οὔτε ἄλλο κακὸν οὐδὲν ἔλαβεν, ὧν ἐγὼ τοὺς παρα-
γενομένους ὑμῖν παρέξομαι μάρτυρας.

## ΜΑΡΤΥΡΕΣ.

Ὅτι μὲν τοίνυν οὗτος ἦν ὁ ἀδικήσας, ὦ βουλή, καὶ 15
ἐπιβουλεύσας ἡμῖν, καὶ οὐκ ἐγὼ τούτῳ, ὑπὸ τῶν παρα-
γενομένων μεμαρτύρηται ὑμῖν. μετὰ δὲ ταῦτα τὸ μὲν
μειράκιον εἰς γναφεῖον κατέφυγεν, οὗτοι δὲ συνεισπε-
σόντες ἦγον αὐτὸν βίᾳ, βοῶντα καὶ κεκραγότα καὶ μαρτυ-
ρόμενον. συνδραμόντων δὲ ἀνθρώπων πολλῶν καὶ ἀγα- 16
νακτούντων τῷ πράγματι καὶ δεινὰ φασκόντων εἶναι τὰ
γιγνόμενα, τῶν μὲν λεγομένων οὐδὲν ἐφρόντιζον, Μό-
λωνα δὲ τὸν γναφέα καὶ ἄλλους τινὰς ἐπαμύνειν ἐπι-
χειροῦντας συνέκοψαν. ἤδη δὲ αὐτοῖς οὖσι παρὰ τὴν 17
Λάμπωνος οἰκίαν ἐγὼ μόνος βαδίζων ἐντυγχάνω, δεινὸν
δὲ ἡγησάμενος εἶναι καὶ αἰσχρὸν περιιδεῖν οὕτως ἀνό-
μως καὶ βιαίως | ὑβρισθέντα τὸν νεανίσκον, ἐπιλαμβά-
νομαι αὐτοῦ. οὗτοι δέ, δι' ὅ τι μὲν τοιαῦτα παρενόμουν
εἰς ἐκεῖνον, οὐκ ἠθέλησαν εἰπεῖν ἐρωτηθέντες, ἀφέμενοι
δὲ τοῦ νεανίσκου ἔτυπτον ἐμέ. μάχης ⟨δὲ⟩ γενομένης, 18
ὦ βουλή, καὶ τοῦ μειρακίου βάλλοντος αὐτοὺς κἀμοῦ
περὶ τοῦ σώματος ἀμυνομένου καὶ τούτων ἡμᾶς βαλ-
λόντων, ἔτι δὲ τυπτόντων αὐτὸν ὑπὸ τῆς μέθης κἀκείνου
ἀμυνομένου, καὶ τῶν παραγενομένων ὡς ἀδικουμένοις

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/51 UNIVERSITÄT LEIPZIG